ἐπὶ τρεῖς ὅλας ἡμέρας, τῇ ἑξῆς λίθων αὐτοῦ προσαρτηθέντων τοῖς ποσὶ μέ-
σῳ πελάγει καταποντοῦται· τοιοῦτο καὶ τοῦ Ἀγαπίου μαρτύριον. ἤδη δὲ εἰς
πέμπτον ἔτος τοῦ διωγμοῦ παραταθέντος, μηνὸς δευτέρᾳ Ξανθικοῦ, ἥτις
ἐστὶ πρὸ τεσσάρων νόνων Ἀπριλλίων, ἐν αὐτῇ κυριακῇ ἡμέρᾳ τοῦ σωτῆρος
ἡμῶν ἀναστάσεως, αὖθις ἐπὶ τῆς Καισαρείας Θεοδοσία τῶν ἀπὸ Τύρου
παρθένος, πιστὸν καὶ σεμνότατον κόριον, οὐδ᾽ ὅλων ἐτῶν ὀκτωκαίδεκα,
δεσμίοις τισὶ καὶ αὐτοῖς τὴν Χριστοῦ βασιλείαν ὁμολογοῦσι, πρὸ τοῦ δικαστηρίου
καθεζομένοις, προσῄει ὁμοῦ φιλοφρονουμένη καὶ οἷα εἰκὸς ὑπὲρ τοῦ μνημονεύειν
αὐτῆς πρὸς τὸν κύριον γενομένους παρακαλοῦσα. τοῦτο πράξασαν, ὥσπερ ἀνό-
σιόν τι καὶ ἀσεβὲς ἐργασαμένην, ἀφαρπάσαντες οἱ στρατιῶται ἄγουσιν ἐπὶ τὸν ἡγεμόνα.
αὐτίκα δ᾽ οὗτος ἀπεγνωσμένῃ μανίᾳ καὶ τὸν θυμὸν θηριωδέστατος, δεινὰ καὶ
φρικτὰ ταῖς βασάνοις κατὰ πλευρῶν καὶ μαζῶν μέχρις καὶ αὐτῶν ὀστέων
αἰκισάμενος, ἔμπνουν ἔτι ταύτην, ὅμως δ᾽ οὖν πρὸς ἅπαντα γενναίως τῷ
φαιδρῷ γαννυμένην προσώπῳ, τοῖς θαλαττίοις κύμασιν ἐμβληθῆναι προσ-
τάττει. εἶτ᾽ ἐξ αὐτῆς ἐπὶ τοὺς λοιποὺς μεταβὰς ὁμολογητάς, τοῖς κατὰ Φαινὼ
τῆς Παλαιστίνης χαλκοῦ μετάλλοις τοὺς πάντας παραδίδωσιν. ἐπὶ τούτοις
Διονυσίου μηνὸς πέμπτῃ, κατὰ δὲ Ῥωμαίους νόναις Νοεμβρίαις, ἐπὶ τῆς αὐτῆς
πόλεως τοὺς ἀμφὶ Σιλβανόν, ἔτι δὲ τότε πρεσβύτερον ὁμολογήσαντα,
ὃν οὐκ εἰς μακρὸν ὕστερον ἐπισκοπῇ τιμηθῆναι, καὶ μαρτυρίῳ
τελειωθῆναι, γενναιοτάτην ἔνστασιν τῆς ὑπὲρ εὐσεβείας ἐπιδειξαμένους,
τοῖς εἰς τὸ αὐτὸ χαλκοῦ μέταλλον πόνοις ὁ αὐτὸς ἔκρινε, καυτηρίοις πρότερον
τῶν ποδῶν τὰς ἀγκύλας αὐτοῖς ἀχρειωθῆναι προστάξας ἐκδίδωσιν.
ἅμα δὲ τῇ κατὰ τούτων ἀποφάσει ἄνδρα μυρίοις ἄλλοις ὁμολογίαις διαπρέψαντα·
Δομνῖνος ἦν οὗτος, ὁ διά τε τὴν ἐλευθερίαν τοῖς κατὰ Παλαιστίνην
πᾶσι γνωριμώτατος, τῇ διὰ πυρὸς ἐκδίδωσι κολάσει. μεθ᾽ ὃν ὁ αὐτὸς
δικαστής, δεινός ἐπινοητής τις ὢν κακίας καὶ τῶν κατὰ τῆς Χριστοῦ δι-
δασκαλίας ἐπιχειρημάτων καινουργός, τὰς μηδ᾽ ἀκουσθείσας πώποτε
κατὰ τῶν θεοσεβῶν ἐπενόει τιμωρίας· καὶ τρεῖς μὲν εἰς τὸ μονομαχεῖν
ἐπὶ πυγμὴν καταδικάζει· Αὐξέντιον δὲ σεμνὸν καὶ ἱερὸν πρεσβύτην θηρίοις
βορὰν παραδίδωσιν· ἄλλους δὲ τὴν τελείαν ἀνδρῶν φέροντας ἡλικίαν,
εἰς εὐνούχους ἐκτεμὼν τοῖς αὐτοῖς κατακρίνει μετάλλοις· ἑτέρους δὲ αὖ πάλιν
μετὰ χαλεπὰς βασάνους δεσμωτηρίῳ καθείργνυσιν· ἐν οἷς καὶ ὁ πάντων ἐμοὶ
ποθεινότατος ἑταίρων Πάμφιλος ἦν, τῶν καθ᾽ ἡμᾶς μαρτύρων
ἀνὴρ πάσῃ ἐμπρέψας ἀρετῇ ἐπιδοξότατος· τοῦτον τῆς ἐν ῥητορικοῖς λόγοις
φιλοσόφοις τε μαθήμασιν ἀπόπειραν πρότερον ὁ Οὐρβανὸς λαβών,